TEZAUR LITURGIC

1 AUGUST

ANTONIOS MARKOU

# PARACLISUL SF.MUCENIȚE CASANDRA DE LA TRAPEZUNT

ATENA,2010


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ЄΚΚΛΗCΙΑC ΤΗC ЄΛΛΑΔΟC

# 1 Αὐγούστου
# Παρακλητικός Κανών
# Νεομάρτυρος
# ΚΑΣΣΑΝΔΡΑΣ τῆς Τραπεζουντίας

**Ποίημα Ἀντώνίος Μάρκου**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ταῖς Νεοάθλου ἱκεσίαις, Οἰκτῖρμον,* σεπτῆς Κασσάνδρας, Τραπεζοῦντος τοῦ ἄνθους,* Ποντίων τοῦ καυχήματος, τοῦ Γένους καλλονῆς,* πέμψον τά ἐλέη Σου
ἐπί λαόν ἀσεβοῦντα* καί παραπικραίνοντα*
Σέ τόν ὅλων Δεσπότην.*
Αὔτην προσάγωμεν γάρ ὡς πρεσβευτήν,*
ὡς κεκτημένην* τήν χάριν Σου, Κύριε.

Δόξα. Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα. Ποίημα γ. Μαγδαληνῆς.[1]

Τὴν ὑπερλάμπουσαν* χάριν, ἀοίδιμε,* τοῦ θείου σκήνους σου,* Μάρτυς πολύαθλε,* ἀπολαυόντες οἱ πιστοί* βοῶμεν σοι, ὦ Κασσάνδρα·* ἅπαν οὖν ἐγκώμιον* τῇ ψυχῇ σου κατάλληλον* δέχου ἐκ τῶν δούλων σου,* τῶν πρός σέ ἐκβοώντων νῦν·*

Μαρτύρων ἐγκαλλώπισμα θεῖον* πρέσβευε ὑπὲρ τῶν ἀνυμνούντων σε.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν* οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ βελίαρ παγίδων,* πάσης καταπτώσεως* καί τῆς δαιμόνων μανίας·* Σοῦ γάρ ὑπάρχει ἡ Εἰκών τοῦ Σουμελᾶ,* ἐν Ἀσπροπύργῳ,* ἡμῶν ἡ ἀντίληψις.

Ὁ Ν΄ (50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·

*ΚΑΣΣΑΝΔΡᾼ ΑΓΙᾼ ΥΜΝΟΣ ΑΔΕΤΑΙ. ΑΝΤΩΝΙΟΥ.*

ᾨδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Κύριε ἐπίβλεψον,* ὁ Βασιλεύς πάσης κτίσεως,* Θεέ Πολυέλεε,* τῶν ἀγαθῶν χορηγέ,* ὁ δωρούμενος* γνῶσιν ἡμῖν τοῖς ἀσόφοις* καί νοῦν μου καταύγασον* τῇ εὐσπλαχνίᾳ Σου.

Ἀνάσσης πεπλήρωται* Σουμελιωτίσσης ὁ πάντιμος* ναός, ἔνθα πρόκεινται Μάρτυρος Λείψανα,* ἀποπνέοντα* τήν θείαν εὐωδίαν,* πληρούσης τήν ὕπαρξιν* τῶν δεομένων ἰάσεως.

Σοφῶς κατενίκησας,* τῇ δυνάμει τοῦ Πνεύματος,* τά κόσμου ἐπίκηρα* καί τά τῆς θέσεως,* ὅτε κατέλειπες* ἀρχοντικήν ἀλουργίδα*, προκρίνασα θάνατον* ὑπέρ Χριστοῦ, ὡς θεόσοφος.

Θεοτοκίον.

Σαφῶς καί ἡ πρόρρησις,* τοῦ Ἠσαΐου πεπλήρωται* ἐν Σοί Ἀειπάρθενε·* ὅθεν τιμῶμεν πιστοί,* Σέ τήν κυήσασαν* Υἱόν, Πατρός εὐδοκίᾳ,* ὅτε Πνεῦμα Ἅγιον* ἐν Σοί ἐσκήνωσεν.

ᾨδή γ΄. Τούς Σούς ὑμνολόγους.

Αἰνέσαι συνέρχονται τά πλήθη* σήν μνήμην καί τά ἱερά* προσψαῦσαι, Μῆτερ, λείψανα* τά παρ᾽ ἡμῖν τηρούμενα* καί πάντες, Κόρη, χαίροντες* πόθῳ κυκλοῦσι σήν λάρνακα.

Νοήσασα κόσμου τήν κακίαν* ἐκόσμησας σήν θείαν βιοτήν* ταῖς ἀρεταῖς, καλλίνικε,* τῆς Τραπεζοῦντος καύχημα·* διό ἐξ ὕψους δός ἡμῖν,* Μάρτυς Κασσάνδρα, τά πρόσφορα.

Δορκάδα τοῦ Πνεύματος εὑρόντες* οἱ ἐν κόσμῳ, αἰτούμεθα, σεμνή,* σαῖς ἱκεσίαις λύτρωσιν* ἀπό παθῶν καί θλίψεων,* τῆς εὐσεβείας καλλονήν* σέ, ὦ Κασσάνδρα, γινώσκοντες.

Θεοτοκίον.

Ῥαδίως σωζόμεθα, Παρθένε,* πρεσβείαις ταῖς Σαῖς πρός Σόν Υἱόν·* διό τόν ὕμνον πρόσδεξαι,* τόν ταπεινόν καί ἄσημον*
καί Σαῖς πρεσβείαις οἴκτιρον* τούς μελωδοῦντας τήν δόξαν Σου.

Διάσωσον* ταῖς τῆς Ἁγίας πρεσβείαις Παντελεῆμον,*
ὅτι πάντες κατόπιν Σοῦ αὐτῇ καταφεύγομεν,*
ὡς ἐχούσης τήν πρός Σέ παρρησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καί τ ῆς Ἁγίας ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ' ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β'. Τά ἄνω ζητῶν.

Σουμελιωτίσσης τῇ Εἰκόνι νῦν προσπίπτομεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες·* καί δι' αὐτῆς αἰτούμεθα* τῆς Θεοτόκου τό ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Ταύτης συνδρ ομήν,* ταῖς ἱκεσίαις* Κασσάνδρας τῆς θεόφρονος.

ᾨδή δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἅγιον ἔχουσα τόν βίον,* παρά Κυρίου σοί δέδοται* τό τοῦ μαρτυρίου* δώρημα, Κασσάνδρα θεόληπτε·* διό ἐλέησον πάντας τούς προσπίπτοντας* τῇ σῇ χάριτι* καί τῇ σορῷ τῶν Λειψάνων σου.

Αὐλάς ἐνοικοῦσα οὐρανίους,* ὡς τοῦ Κυρίου θεράπαινα,* βλέψον τοῖς προσπίπτουσι πόθῳ* τῷ σῷ

σεπτῷ, Μῆτερ, δέματι,* τῷ δωρηθέντι εὐδοκίᾳ σῇ, πανόλβιε,* εἰς ἀνάψυξιν* τῶν τρυχομένων τοῖς πάθεσι.

Γέρας ὤφθης Ὀρθοδόξων* ἐν καιροῖς τῆς ἁλώσεως* σῆς πατρίδος ὑπό Ἄγαρ* κακῶν υἱῶν καί στενώσεως·* διό ὑπάρχεις τῶν τιμώντων σε τό στήριγμα,* οὕς περίσωζε* ἀπό κακίας τοῦ ὄφεως.

Θεοτοκίον.

Ἱλαρῶς μέν Θεοτόκε,* Σέ ἀνυμνοῦντες οὐ παύομεν·* Σύ δέ σπεῦσον μεσιτεῦσαι* τῷ Σῷ Υἱῷ ὑπέρ ἄρσεως,* τοῦ βαρυτάτου ζυγοῦ τῆς προαιρέσεως,* Ἀπειρόγαμε,* ἥ πρός τά κάτω βυθίζει με.

Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.

Ἀγάπης πρός Κύριον* τῆς σῆς σεπτόν μαρτύριον* ἀπόδειξις ὑπάρχει τρανωτάτη·* διό ἀγάπην τήν πρός Αὐτόν, ἀγαθή,* ἐμφύτευσον καρδίαις τῶν πιστῶς* νῦν μακαριζόντων σε* καί κηρυττόντων σήν ἄθλησιν.

Ὕψος θεῖον σε κέκτηται,* Ποντίων γένος καί ἅπασα,* γῆ ἡ Ἑλληνίς, Μάρτυς Κασσάνδρα·* πέφηνας γάρ τούτων στηριγμὸς,* ὑπόδειγμα σεπτόν, παιδαγωγός·* διό καί νῦν ἐλέησον* τούς ἐκ καρδίας σοί σπεύδοντας.

Μένων φωσφόρος ὁ Ἥλιος,* Χριστὸς ἐν τῇ καρδίᾳ σου,* Κασσάνδρα τῶν Ποντίων εὐφροσύνη,* ἠλλοίωσέ

σε, ταῖς θεϊκαῖς ἀστραπαῖς,* ἐξ ὧν ἀνεδείχθης παμφαῶς,* φωτεινὸν ἀνάκτορον·* διό ἐλέησον ἅπαντας.

Θεοτοκίον.

Ναός καί παλάτιον,* τοῦ Βασιλέως ὑπάρχουσα,* Κόρη οὐρανῶν ὑψηλοτέρα,* δέχου τόν ὕμνον,* σκέπε ἀεὶ νοητῶς,* ἡμῶν ἀθλιωτάτην βιοτήν,* ἵνα εὐλογοῦμεν Σε* καί Σόν κηρύττομεν ἔλεος.

Ὠδή στ΄. Τήν θείαν ταύτην.

Ὁ χρόνος βίου συντέτμηται,* ἡ ὥρα τοῦ θανάτου ἐγγύτερον* ἦλθεν, θεότιμε·* διὸ παράσχου μοι ἄφεσιν* τῶν βίου ἁμαρτάδων* ταῖς ἱκεσίαις σου.

Σεπτῶν Λειψάνων σου λάρνακι* προσπίπτοντες, Κασσάνδρα, δεόμεθα* ἡμᾶς ἐλέησον* καί ἀπό κινδύνων ἀπάλλαξον,* τῷ Βασιλεῖ μεσιτεύουσα.

Ἁγίαν, Μῆτερ, καί πάντιμον* σήν Κάραν ἥ Χριστόν ὁμολόγησεν* ἐχθρῶν ἐνώπιον,* κατασπαζόμεθα χαίροντες,* τάς σάς πρεσβείας αἰτούμενοι.

Θεοτοκίον.

Δεόμεθα κλύδωνος λύτρωσαι,* τοῦ θείου φωτισμοῦ καταξίωσον,* δώρησαι ἄφεσιν,*

τοῖς ἐν πολλοῖς παροργίζουσι* τόν Σόν Υἱόν, Παρθένε.

Διάσωσον* ταῖς τῆς Ἁγίας πρεσβείαις Παντελεῆμον,*
ὅτι πάντες κατόπιν Σοῦ αὐτῇ καταφεύγομεν,*
ὡς ἐχούσης τήν πρός Σέ παρρησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καί τῆς Ἁγίας ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ποίημα γ. Μαγδαληνῆς.

Ὢ τῆς πολλῆς σου, πρὸς Χριστὸν παρρησίας* καὶ τῆς ἀπείρου σου, σεμνὴ, καρτερίας,* δι’ ἧς καί κατήσχυνας τὸν πάλαι Ἰσμαήλ* καὶ κατεξολόθρευσας* τὰς βουλὰς τῶν ἀπίστων* τῇ ἐνδόξῳ στάσει σου,* ὦ Κασσάνδρα παμμάκαρ·* διὸ αἰτοῦμεν Μάρτυς τοῦ Χριστοῦ* σκέπε σοὺς δούλους* τῇ θείᾳ πρεσβείᾳ σου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. ιβ΄ 8 – 12).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς καὶ τὰς ἀρχάς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἤ τι ἀπολογήσησθε ἤ τι εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Δόξα. Ταῖς τῆς Σῆς Ἁγίας...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Ποίημα γ. Μαγδαληνῆς.

Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Φερωνύμως ἐκλήθης τῆς ἀνδρείας ἐπώνυμος* καὶ πρὸς ἀνδρικούς ἀγῶνας ἐχώρησας,* Κασσάνδρα πολύαθλε·* τῷ γὰρ θείῳ ἔρωτι τρωθεῖσα* κατέλιπες δόξαν πρόσκαιρον* καὶ τῷ Χριστῷ ἠκολούθησας* καὶ πρὸς ζωὴν τὴν ἀμείνω μαρτυρικῶς μεταβέβηκας·* διὸ ἐν τῇ ἐνδόξῳ σου μνήμῃ,* παρρησίαν ἔχουσα πρὸς Κύριον,* ἱκέτευε σωθῆναι τὰς ψυχάς ἡμῶν.

Ὠδή ζ'. Οὐκ ἐλάτρευσαν.

Εὗρεν σύμμαχον* Ποντίων γένος ἔνδοξον* Κασσάνδρας Λείψανον,* πρός ὅ πάντες μαζηδόν* ἐν πίστει προστρέχουσι,* θερμῶς αἰτούμενοι* καί τυγχάνοντες* τοῦ ποθουμ ένου ἕκαστος,* τήν Ἁγίαν εὐλογοῦμεν.

Τήν Ἀλήθειαν,* τήν ὄντως ὑπερέχουσαν,* κατηκολούθησας·* διό ζωήν ἀληθῶς * ἐν κόσμῳ ἐβίωσας,* Μῆτερ θεότιμε·* ὅθεν ὑμνοῦμ εν σε*
τῶν Ὀρθοδόξων τό σύστημα* καί τήν μνήμην σο υ τελοῦμεν.

Ἀνυμνοῦμεν σε·* πέλουσιν γάρ Λείψανα* τῆς σῆς μακαριότητος* καί δόξης τά πειστήρια* ἥν ἀπολαύεις τά νῦν·* ὅθεν δεήθητι,* τυχεῖν ἡμᾶς τούς ὑμνοῦντας σε* οὐρανῶν κληρονο μίας.

Θεοτοκίον.

Ἱερώτατον* Θεοῦ κατοικητήριον,* τερπνόν παλάτιον,* Σύ ὑπάρχεις Μαριάμ,* μή παύῃς δεόμεθα* πρός Σόν Υἱόν καί Θεόν,* ἀναφέρεσθαι* καί ἱκετεύειν, Πανάχραντε·* σπεῦσον, Κυρία, ἀπολλύμεθα.

Ὠδή η΄. Παῖδας εὐαγεῖς.

Αἰνοῦμέν σε πιστοί ἐν εὐφροσύνῃ,* ὡς Μάρτυρα τοῦ Γένους καί Χριστοῦ,* τῆς Τραπεζοῦντος, πάνσεμνε* Κασσάνδρα, θεῖον βλάστημα·* Χριστός γάρ ἐστεφάνωσεν τήν θείαν κάραν σου·* διό καί σοί προσπίπτομεν* ἐξαιτούμενοι ὑγίειαν.

Νέμει κρουνηδόν Κασσάνδρα χάριν,*
πᾶσι τοῖς προστρέχουσι αὐτῇ,*
τοῖς τε προσεγγίζουσι* αὐτῆς παντίμῳ λάρνακι·*
διό Ποντίων κηρύττεται πρόμαχος,*
ἡμῶν δέ πάντων βοήθεια*
καί θερμοτάτη ἀντίληψις.

Τόπος προσκυνήματος ἐδείχθη* ἡ
λάρναξ ἡ πάντιμος τῆς θειοτάτης Μητρός* ἅμα καί θεόφρονος,* τῆς Τραπεζοῦντος οὔσης καυχήματος,* τῆς Κασσάνδρας, πρός ἥν προσπίπτομεν* τήν θεραπείαν αἰτούμενοι* αὐτῆς πρεσβείαις πρός Κύριον.

Θεοτοκίον.

Ὢ Σῆς ὡραιότητος Παρθένε,* ἥ πόθον τόν ἅγιον διήγειρε,* ὑμνεῖν Σε τήν Θεόπαιδα,* τήν μόνην Ἀειπάρθενον,* δι’
Ἧς Χριστός ἐπέφανεν* ἡμῖν καί ἐσκήνωσεν·*
διό ψάλλομεν ὑμνοῦντες* τήν ἀκήρατον Αὐτοῦ Μη τέρα δεόμενοι.

Ὠδή θ΄. Ἅπας γηγενής.

Νέαν οἱ πιστοί* πηγήν θείας χάριτος καί δρόσου εὕρομεν,* Κασσάνδρας θεῖα λείψανα,* πρός ἥν θερμῶς προσπίπτοντες* δάκρυσι κρούομ εν αὐτῆς τήν θύραν* καί βοῶμεν·* Δεσπότην, Μῆτερ, ἱκέτευε* ὑπέρ τῶν πόθῳ τιμώντων σε.

Ἰάσεων πηγή* ἡ παρ' ἡμῖν δροσίζουσα παθῶν τόν καύσωνα,* τῆς Μάρτυρος τό λείψανον* ἐδείχθη πᾶσιν· διό βοήσωμεν* τῷ ταύτην δοξάσαντι Κυρίῳ ἄδοντε ς·* δέχου Σῶτερ,* ὡς ἐλεήμων εὐσυμπάθητος,* τῆς Κασσάνδρας τήν δέησιν.

Ὁ τὸ ἱερόν* κατέχων σκῆνός σου ναός τάς χάριτας* ἀναβλύζει πάντοτε* τοῖς μετὰ πόθου αὐτῷ προστρέχουσι* καὶ Ἀσπροπύργου πέφυκε θησαύρισμα,* Κασσάνδρα, κηρύττων μυστικῶς,* οἵοις τρόποις Χριστός σε ἐδόξασεν.

Θεοτοκίον.

Ὕμνος Σοί Ἁγνή,* τῇ Κόρῃ προσφέρεται· ὁ βίος γάρ ὁ ἐμός* ἐν ἁμαρτίαις ἠνάλωται·* ὅθεν τῆς παρρησίας ὡς λειπόμενος,* πρός τόν Δεσπότην, τόν καί Φιλάνθρωπον,* τῆς μετανοίας πύλας μοι ἄνοιξον,* ὡς ἐν τέλει τῆς ζωῆς κἄν σωθήσομαι.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν Σε τήν Θεοτόκον,*

τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν
τῶν Χερουβείμ* καί ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,*
τήν ἀδιαφθόρως* Θεόν Λόγον τεκοῦσαν,*
τήν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Χαίροις τοῦ πανσέπτου τούτου ναοῦ* τοῦ ἐν Ἀσπροπύργῳ,* τῆς Κυρίας τοῦ Σουμελᾶ,* σέμνωμα Κασσάνδρα καί ἱλασμός Ποντίων,* τῶν ᾧδε προσελθόντων* εὑρεῖν ἀνάπαυσιν.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή,* ἁγία Κασσάνδρα,* Τραπεζοῦντος ὁ στολισμός·* χαίροις Ὀρθοδόξου πληρώματος προστάτις* καί πάντων τῶν Ποντίων* εὐχαῖς σου πρόμαχος.

Χαίροις ἡ τοῦ Πόντου γόνος λαμπρά,* ἡμῶν πολιοῦχε* καί θεόσεπτος βοηθός* πάντων Ὀρθοδόξων τῶν ἐπικαλουμένων* τήν σήν θερμήν πρεσβείαν* καί τήν ἀντίληψιν.

Μῆτερ γλυκυτάτη πάντων ἡμῶν,* τούς σοί προσφυγόντας* σπεῦσον τοῦ σῶσαι τῶν πονηροῦ* προσβολῶν ματαίων καί τείχισον εὐχαῖς σου* πάντας τούς Ὀρθοδόξους* τούς ἀνυμνοῦντας σε.

Τούς ἀθροιζομένους τῷδε Ναῷ* ἀοράτων πάντας* ὁρατῶν τε ἐπιβουλῆς,* ἡμᾶς τυραννούντων* δεόμεθα ῥυσθῆναι,* ὑπό τῆς χάριτός σου,* Μῆτερ ἀοίδημε.

Τά πεπυρωμένα βέλη ἐχθροῦ,* ἐνέδρας, παγίδας* διασκέδασον ἐξ ἡμῶν,* τῇ δυνάμει, Μῆτερ, τῇ ἐκ Θεοῦ δοθείσῃ,* ὅπως αὐτῶν ῥυσθέντες* σέ μεγαλύνωμεν.

Ἕτερον. Ποίημα γ. Μαγδαληνῆς.

Χαίροις Τραπεζοῦντος θεῖος βλαστός* καὶ τῶν Ὀρθοδόξων* ἀνεξάντλητος θησαυρός·* χαίροις τῶν Μαρτύρων τὸ καύχημα Κασσάνδρα,* ἡμῶν δὲ τὸ προσφύγιον,* Μάρτυς πανένδοξε.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν

ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,*
ἐπί Σοί γάρ πεποίθαμεν.*
Μή ὀργισθῇς ἡμῖν σφόδρα,*
μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν,* ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.*
Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου,*
πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικ εκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε,*
ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,*
ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·*
Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τῆς Νεομάρτυρος καί τήν σεπτήν λάρνακα τῶν ἁγίων αὐτῆς Λειψάνων καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε προσκυνήσωμεν πιστοί* ἱεράν εἰκόνα καί θήκην* θείων λειψάνων τε,* Κασσάνδρας Νεομάρτυρος, Πόντου ἀμύντορος,* ὁμοῦ Ἑλλάδος καί εἴπωμεν* αὐτῇ μελωδοῦντες·* χαῖρε εὐωδέστατον δοχεῖον Πνεύματος,* πρόμαχε Χριστοῦ Ἐκκλησίας,* ἡμῶν δέ προστασία ἐν ἀνάγκαις,* πάντων Ὀρθοδόξων ἡ ἀντίληψις.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Στίχοι·

*Δέχου τόν ὕμνον τοῦτον, Κασσάνδρα Νεομάρτυς,*

*ὅν ὑπέρ πταισμάτων, Ἀντώνιος προσφέρει.*

*Σκέπε δέ Ἀττικῆς Χρυσόστομον Δεσπότην,*

*ὅς πρόνοιαν καί ἔλαβεν συνθέσεως παρούσης.*

